περὶ τούτου. δεῖ δὲ ζητῆσαι πρὸ τοῦ διαλόγου, 7) πρῶτον μὲν, τὴν δραματικὴν διασκευὴν τοῦ διαλόγου. δεύτερον, τὸν σκοπόν· τρίτον, διαίρεσιν αὐτοῦ· τέταρτον, καὶ τὰ πρόσωπα, καὶ τὴν ἀναλογίαν τῶν προσώπων· πέμπτον, τὸ ὑπὸ τῶν πολλῶν ζητουμένον, καὶ οὐκ ἄξιον λόγου, οὐδὲ ἠπορημένον παρὰ τοῖς παλαιοτέροις· διὰ ποίαν αἰτίαν ὁ Πλάτων περὶ Γοργίου 8) γράφει, μὴ ὄντος τοῖς αὐτοῖς αὐτῷ χρόνοις, ἀλλὰ πολλῷ διαφέροντος.

β΄. Ἡ μὲν οὖν διασκευὴ αὐτή. Γοργίας ὁ Λεοντῖνος ἀπὸ Λεοντίνων τῶν ἐν τῇ Σικελίᾳ ἦλθε πρεσβευσόμενος 9) πρὸς Ἀθηναίους περὶ συμμαχίας, καὶ τοῦ πρὸς Συρακουσίους πολέμου. εἶχε δὲ μετ᾽ αὐτοῦ Πῶλον ῥητορικῇ χαίροντα· ἔμειναν δὲ ἐν τῷ οἴκῳ τοῦ Καλλικλέους δημαγωγοῦ τῶν Ἀθηναίων· οὗτος δὲ ὁ Καλλικλῆς ἔχαιρε μὲν τοῖς δεινοῖς ῥήτορσιν· ἡδονὴν δὲ ἐποιεῖτο τοῦ βίου, 10) καὶ ἠπάτα τοὺς Ἀθηναίους, τὸ Δημο-

7) Antequam dialogi ſingulae partes exponantur, praelibanda natura eius et conſtitutio; in quarum conſideratione haec verſatur praefatio.

8) Conſuetum erat dialogorum ſcriptoribus, homines ſuorum temporum facere colloquentes, magis quam antiquiores. Vnde orta eſt haec quaeſtio; cui poſtea reſpondetur ad praefationis finem.

9) Videatur Diodorus Sic. p. 514. Ed. Weſſeling.

10) Deeſſe crediderim vocem τέλος, vt legatur, ἡδονὴν δὲ ἐποιεῖτο τέλος τοῦ βίου. Dicuntur infra oratores fucoſi mendacesque ſtatuiſſe, ὅτι τῆς πολιτικῆς ὕλη μὲν ἐζωωμένον σῶμα, — τέλος δὲ ἡδονή. Sect. γ΄. Et poſtea, ὁ δὲ Καλλικλῆς τῷ ὕδει καὶ φιληδόνῳ [ἀνκλογεῖ] Sect. ἐ.